# ΕΡΜΟΤΙΜΟΣ Η ΠΕΡΙ ΑΙΡΕΣΕΩΝ, ΔΙΑΛΟΓΟΣ.

## ΛΥΚΙΝΟΣ, ΕΡΜΟΤΙΜΟΣ.

Λυκ. Ὅσον, ὦ Ἑρμότιμε, τῷ βιβλίῳ καὶ τῇ τοῦ βαδίσματος σπουδῇ τεκμήρασθαι, 1) παρὰ τὸν διδάσκαλον ἐπειγομένῳ ἔοικας· ἐνενόεις γοῦν τι μεταξὺ προϊὼν, 2) καὶ τὰ χείλη διεσάλευες, ἠρέμα ὑποτονθορύζων, καὶ τὴν χεῖρα ὧδε κἀκεῖσε μετέφερες, ὥσπερ τινὰ ῥῆσιν ἐπὶ σεαυτοῦ διατιθέμενος, ἐρώτημα δὲ ἤ τι τῶν ἀγκύλων 3) συντιθεὶς, ἢ σκέμμα σοφιστικὸν ἀναφροντίζων, ὡς μηδὲ ὁδῷ βαδίζων σχολὴν ἄγοις, ἀλλ' ἐνεργὸς εἴης, ἀεὶ σπουδαῖόν τι πράττων, καὶ ὃ πρὸ ὁδοῦ σοι γένοιτ' ἂν 4) ἐς τὰ μαθήματα.

ΕΡΜ.

Docet hic dialogus iuvenes iudicio ferendo aptos ad examen suum vocare omnia, et nullius iurare in verba magistri. quae εκλεκτικη cum omnino sit utilis, doctorisque veri auctoritatem non imminuat, hinc addidimus libellum huncce, ceteros Luciani et ingenio et festivitate ni superantem, aequantem certe.

1) sub. εστιν, coniicere licet.

2) vid. Viger. Idiot. L. Gr. p. 339.

3) sub. συλλογισμων.

4) nos fere: was dir forthilft.